Τρίμετροι Ἰαμβικοί. A Senarij Iambici.

BISETUS. Δικαιόπολις τοῖς Πελοποννησίοις, καὶ Μεγαρεῦσι, καὶ Βοιωτίοις ἐν τῇ ἑαυτοῦ ἀγορᾷ ἀκινδύνως ἀγοράζειν, πωλεῖν, καὶ ὠνεῖσθαι ἐπιτρέπει, καὶ τοὺς τῆς ἀγορᾶς ὅρους, καὶ νόμους δηλοῖ.

---

BISETUS. Κορωνὶς ἐκ στίχων ις´.

Δι. Ὅροι μὲν ἀγορᾶς εἰσιν οἵδε τῆς ἐμῆς,
Ἐνταῦθ᾽ ἀγοράζειν πᾶσι Πελοποννησίοις B
Ἔξεστι, καὶ Μεγαρεῦσι, καὶ Βοιωτίοις,
Ἐφ᾽ ᾧτε πωλεῖν πρὸς ἐμὲ, Λαμάχῳ δὲ μή.
Ἀγορανόμους δὲ τῆς ἀγορᾶς καθίσταμαι.
Τρεῖς τοὺς λαχόντας, τοὺς δ᾽ ἱμάντας ἐκ λεπρῶν
Ἐνταῦθα μήτε συκοφάντης εἰσίτω,
Μήτ᾽ ἄλλος ὅστις Φασιανός ἐστ᾽ ἀνήρ.
Ἐγὼ δὲ τὴν στήλην καθ᾽ ἣν ἐσπεισάμην, C
Μέτειμ᾽ ἵνα στήσω φανερὰν ἐν τῇ ἀγορᾷ.

DI. Hi limites statuti sunt fori mei,
In hoc negotiari Peloponnesijs,
Megarensibus & Bœotijs iam nunc licet:
Vt mihi venundent, quæ volunt, non Lamacho.
Annonæ verò præfectos hîc ordino
Tres sorte lectos: lora capio de lepris.
Huc ne quis ingrediatur Sycophanta, neu
Alius, quicunque Phasianus vir siet.
Ego ad columnam, iuxta quam fœdus inij,
C Transeo, vt illam in foro conspicuam collocem.

Σχόλια. Ὅροι μὲν ἀγορᾶς.] κορωνὶς ὅτι οἱ ὑποκριταὶ ἐπεισίασι. καὶ εἰσὶ στίχοι ἰαμβικοὶ ἀκατάληκτοι, ις. Ἀγοράζειν.] ἐν ἀγορᾷ διατρίβειν, Ἀττικῶς ὅθεν καὶ ἡ κόριννα ἐστὶ τοῦ Πινδάρου Ἀττικισί. ἐπεὶ καὶ ἐν τῷ πρώτῳ τῶν παρθενίων ἐχρήσατο τῇ λέξει. ἀγορανόμους δὲ οὓς λογιστὰς καλοῦμεν. Τοὺς δ᾽ ἱμάντας ἐκ λεπρῶν.] οἱ μὲν ἀπὸ τοῦ λέπειν ὅ ἐστι τύπτειν. οἱ δὲ ἀπὸ Λεπρίου D πολίσματος τῆς Πελοποννήσου. ἧς μέμνηται καὶ Καλλίμαχος ἐν ὕμνοις. Καυκώνων πτολίεθρον ὃ Λέπρειον πεφάτισται. οἱ δὲ ἐκ λεπρῶν βοῶν. φασὶ γὰρ τὰ τῶν λεπρῶν βοῶν δέρματα ἰσχυρὰ εἶναι. οἱ δὲ, ὅτι Μεγαρεῖς λεπροὶ τὸ σῶμα, πρὸς οὓς ἀπένδεται. ἄμεινον δὲ λέγειν ὅτι τόπος ἔξω τοῦ ἄστεος καλούμενος, ἔνθα τὰ βυρσεῖα ἦν. οὗ καὶ ἐν ὄρνισι μέμνηται. τί δ᾽ οὐ τὸν ἥλιον λεπρὸν οἰκίζετε. ἱμάντας δὲ, λώρους, φραγγέλια. τὸ γὰρ παλαιὸν φραγγέλλαις ἔτυπτον οἱ D λογισταὶ τοὺς τῆς ἀγορᾶς. Φασιανός.] ἀντὶ τοῦ συκοφάντης παρὰ τὴν φάσιν ὅ ἐστι φαίνειν. ἔστι καὶ πόλις τῆς Σκυθίας Φάσις, ὁμώνυμος τῷ ποταμῷ.

---

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΡΙΤΟΥ
### Σκηνὴ δευτέρα.

ΜΕΓΑΡΕΥΣ, ΚΟΡΑΙ. E

Με. Ἀγορὰ ᾽ν Ἀθάναις χαῖρε, Μεγαρεῦσιν φίλα.
Ἐπόθουν τυ ναὶ τὸν φίλιον ἅπερ ματέρα,
Ἀλλ᾽ ὦ πονηρὰ κώρια γ᾽ ἀθλίου πατρὸς
Ἀμβᾶτε ποτὶ τὰν μάδδαν, αἴ χ᾽ εὕρητέ πα.
Ἀκούετον δὴ, ποτέχετ᾽ ἐμὶν τὰν γαστέρα.
Πότερα, πεπρᾶσθαι χρῄδδετ᾽ ἢ πεινῆν κακῶς; F
Κό. Πεπρᾶσθαι, πεπρᾶσθαι.
Με. Ἐγώνγα καὐτός φαμι. τίς δ᾽ οὕτως ἀνοῦς,
Ὃς ὑμέ κα πρίαιτο φανερὰν ζαμίαν.
Ἀλλ᾽ ἔστι γάρ μοι Μεγαρικά τις μαχανά.
Χοίρους γὰρ ὑμὲ σκευάσας, φάσω φέρειν.
Περίθεσθε τάσδε τὰς ὁπλὰς τῶν χοιρίων,
Ὅπως δὲ δοξεῖτ᾽ ἦμεν ἐξ ἀγαθᾶς ὑός.
Ὡς ναὶ τὸν Ἑρμᾶν εἴπερ ἵξετ᾽ οἴκαδες, G
Τὰ πρᾶτα πειρασεῖσθε τᾶς λιμοῦ κακῶς,
Ἀλλ᾽ ἀμφίθεσθε καὶ τὰ δὴ τὰ ῥυγχία,
Κἤπειτεν ἐς τὸν σάκκον ὧδ᾽ ἐσβαίνετε.
Ὅπως δὲ γρυλλιξεῖτε καὶ κοΐξετε,

## ACTVS III. SCENA secunda.

MEGARICVS, PVELLAE.

ME. Salue forum Atticum, optatum Megarensibus,
Ego te expetessebam mediusfidius, quasi
Matrem. ô puellæ miseræ pessimi patris,
Accedite ad placentam, sicubi se offerat:
Audite, ventrem mihi probè huc aduertite:
Væ nire, an esurire vultis postmodum?
PV. Vænire, vænire.
ME. Hoc idem & ego dico. sed quis ita bardus siet,
Qui vos emat, sibi damnum manifestarium?
Sed est Megaricum machinamentum nunc mihi.
Nam vos larua induam, & pro porcis afferam.
Age circundate manibus has porcorum vngulas,
Atque, vt videamini è bona scropha satæ,
Per Mercurium (si modo redieritis domum)
Primo famem experiemini malam malè.
Sed & suilla hæc applicate rostra, tum
In saccum hunc sic irrepite: grunnite, insuper